πατρός σου· μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι καὶ ηὐλόγηκά σε καὶ
πληθυνῶ τὸ σπέρμα σου διὰ Αβρααμ τὸν πατέρα σου. [25]καὶ 25
ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸ ὄνομα κυρίου
καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ· ὤρυξαν δὲ ἐκεῖ οἱ παῖδες Ισαακ
φρέαρ. [26]καὶ Αβιμελεχ ἐπορεύθη πρὸς αὐτὸν ἀπὸ Γεραρων καὶ 26
Οχοζαθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φικολ ὁ ἀρχιστράτηγος τῆς δυνά-
μεως αὐτοῦ. [27]καὶ εἶπεν αὐτοῖς Ισαακ Ἵνα τί ἤλθατε πρός με; 27
ὑμεῖς δὲ ἐμισήσατέ με καὶ ἀπεστείλατέ με ἀφ᾽ ὑμῶν. [28]καὶ εἶπαν 28
Ἰδόντες ἑωράκαμεν ὅτι ἦν κύριος μετὰ σοῦ, καὶ εἴπαμεν Γενέσθω
ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ, καὶ διαθησόμεθα μετὰ
σοῦ διαθήκην [29]μὴ ποιήσειν μεθ᾽ ἡμῶν κακόν, καθότι ἡμεῖς σε 29
οὐκ ἐβδελυξάμεθα, καὶ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς καὶ ἐξ-
απεστείλαμέν σε μετ᾽ εἰρήνης· καὶ νῦν σὺ εὐλογητὸς ὑπὸ κυρίου.
[30]καὶ ἐποίησεν αὐτοῖς δοχήν, καὶ ἔφαγον καὶ ἔπιον· [31]καὶ ἀνα- 30
στάντες τὸ πρωὶ ὤμοσαν ἄνθρωπος τῷ πλησίον αὐτοῦ, καὶ ἐξ- 31
απέστειλεν αὐτοὺς Ισαακ, καὶ ἀπῴχοντο ἀπ᾽ αὐτοῦ μετὰ σωτηρίας.
[32]ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ παραγενόμενοι οἱ παῖδες Ισαακ 32
ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος, οὗ ὤρυξαν, καὶ εἶπαν Οὐχ
εὕρομεν ὕδωρ. [33]καὶ ἐκάλεσεν αὐτὸ Ὅρκος· διὰ τοῦτο ὄνομα τῇ 33
πόλει Φρέαρ ὅρκου ἕως τῆς σήμερον ἡμέρας.

[34]Ἦν δὲ Ησαυ ἐτῶν τεσσαράκοντα καὶ ἔλαβεν γυναῖκα Ιουδιν 34
τὴν θυγατέρα Βεηρ τοῦ Χετταίου καὶ τὴν Βασεμμαθ θυγατέρα
Αιλων τοῦ Ευαίου. [35]καὶ ἦσαν ἐρίζουσαι τῷ Ισαακ καὶ τῇ Ρεβεκκα. 35

[1]Ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι Ισαακ καὶ ἠμβλύνθησαν οἱ ὀφθαλ- 27
μοὶ αὐτοῦ τοῦ ὁρᾶν, καὶ ἐκάλεσεν Ησαυ τὸν υἱὸν αὐτοῦ τὸν πρε-
σβύτερον καὶ εἶπεν αὐτῷ Υἱέ μου· καὶ εἶπεν Ἰδοὺ ἐγώ. [2]καὶ εἶπεν 2
Ἰδοὺ γεγήρακα καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου·
[3]νῦν οὖν λαβὲ τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, 3
καὶ ἔξελθε εἰς τὸ πεδίον καὶ θήρευσόν μοι θήραν [4]καὶ ποίησόν 4
μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ, καὶ ἔνεγκέ μοι, ἵνα φάγω, ὅπως
εὐλογήσῃ σε ἡ ψυχή μου πρὶν ἀποθανεῖν με. [5]Ρεβεκκα δὲ ἤκου- 5
σεν λαλοῦντος Ισαακ πρὸς Ησαυ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ
Ησαυ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ· [6]Ρεβεκκα δὲ 6
εἶπεν πρὸς Ιακωβ τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω Ἰδὲ ἐγὼ ἤκουσα
τοῦ πατρός σου λαλοῦντος πρὸς Ησαυ τὸν ἀδελφόν σου λέγοντος
[7]Ἔνεγκόν μοι θήραν καὶ ποίησόν μοι ἐδέσματα, καὶ φαγὼν εὐλο- 7
γήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με. [8]νῦν οὖν, υἱέ, 8

24 ηυλογηκα 911] ευλογησω A || 33 αυτο 911] το ονομα αυτου A | ονομα 911] pr. εκαλεσεν το A || 34 την 1⁰ 911] > A | βασεμμαθ M] μασ. A | αιλων M (ευλων 911)] αιλωμ A

27 1 ειπεν ult. M] + αυτω A(†) || 4 ενεγκον A | πριν] προ του A† || 7 και 2⁰ 911] ινα A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/91 UNIVERSITÄT LEIPZIG